ἀμύνεθ᾽. ἱκέται δ᾽ ὄντες ἀγοραίου Διὸς,
βιαζόμεσθα, καὶ στέφη μιαίνεται,
πόλει τ᾽ ὄνειδος, καὶ θεῶν ἀτιμία.
ΧΟ. Ἔα, ἔα, τίς ἡ βοὴ βωμοῦ πέλας
ἕστηκε; ποίαν ξυμφορὰν δείξει τάχα;=
ΙΟ. Ἴδετε τὸν γέροντ᾽ ἀμαλὸν ἐπὶ πέδῳ
χύμενον, ὦ τάλας.
ΧΟ. Πρὸς τοῦ ποτ᾽ ἐν γῇ πτῶμα δύστηνον πίτνεις;
ΙΟ. Ὅδ᾽, ὦ ξένοι, με, σοὺς ἀτιμάζων θεοὺς,
ἕλκει βιαίως Ζηνὸς ἐκ προβωμίων.
ΧΟ. Ὁδ᾽ ἐκ τίνος γῆς, ὦ γέρον, τετράπτολιν
ξύνοικον ἦλθες λαόν; ἢ πέρα-
θεν ἁλίῳ πλάτᾳ
κατέσχετ᾽ ἐκλιπόντες Εὐβοῷδ᾽ ἀκτάν;
ΙΟ. Οὐ νησιώτην, ὦ ξένοι, τρίβω βίον,
ἀλλ᾽ ἐκ Μυκηνῶν σὴν ἀφίγμεθα χθόνα.
ΧΟ. Ὄνομα τί σε, γέρον, Μυκηναῖος ὠ-
νόμαζεν λεώς;
ΙΟ. Τὸν Ἡράκλειον ἴστε που παραστάτην
Ἰόλαον. οὐ γὰρ σῶμ᾽ ἀκήρυκτον τόδε.
ΧΟ. Οἶδ᾽, εἰσακούσας καὶ πρίν. ἀλλὰ τοῦ ποτε
ἐν χειρὶ σᾷ κομίζεις κόρους
νεοτρεφεῖς, φράσον.
ΙΟ. Ἡρακλέους οἵδ᾽ εἰσὶ παῖδες, ὦ ξένοι,
ἱκέται σέθεν τε καὶ πόλεως ἀφιγμένοι.=
ΧΟ. Τί χρέος; ἢ λόγων πόλεος, ἔνεπέ μοι,

74. συμφορὰν
75. τὸν γέροντα μᾶλλον
77. πιτνεῖς;
84. Εὐβοΐδ᾽ ἀκτάν;
87. 88. ὠνόμαζε λαός;
89. ἴστέ που
90. Ἰόλαον;
91. ἀλλὰ ποῦ ποτ᾽ ἐν
92. ἐν omittit Aldus.
96. πόλεως ἔννεπέ μοι